εὐκελάδῳ σύριγγι χέων μέλος, ἐκ δὲ συνῳδοῦ
κλάζε κατιθύνων ῥήματος ἁρμονίην·
ἀμφὶ δὲ σοὶ ῥυθμοῖο κατὰ κρότον ἔνθεον ἴχνος
ῥησσέσθω Νύμφαις ταῖσδε μεθυδριάσιν.

## XXI

κειράμενος γονίμην τις ἄπο φλέβα Μητρὸς ἀγύρτης
Ἴδης εὐδένδρου πρῶνας ἐβουνοβάτει·
τῷ δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίναν
χάσμα φέρων χαλεπὸν πειναλέου φάρυγος.
δείσας δ' ὠμηστέω θηρὸς μόρον †ὡς αὖ δάξαι†
τύμπανον ἐξ ἱερᾶς ἐπλατάγησε νάπης·
χὼ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων
ἔνθους ῥομβητὴν ἐστροφάλιξε φόβην·
κεῖνος δ' ἐκπροφυγὼν ὀλοὸν μόρον εἵσατο Ῥείῃ
θῆρα τὸν ὀρχησμῶν αὐτομαθῆ Κυβέλης.

## XXII

οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ὅμηρον
στήσητε φλογέαις ἐν Διὸς ἀστεροπαῖς
οὐκ εἴμ' οὐδ' ἔσομαι Σαλαμίνιος, οὐδ' ὁ Μέλητος
Δμησαγόρου. μὴ ταῦτ' ὄμμασιν Ἑλλὰς ἴδοι.
ἄλλον ποιητὴν βασανίζετε· τἀμὰ δέ, Μοῦσαι
καὶ Χίος, Ἑλλήνων παισὶν ἀείσετ' ἔπη.